5	Δόρκων μὲν δὴ τοσαῦτα εἰπὼν καὶ φίλημα φιλήσας ὕστατον, ἀφῆκεν ἅμα τῷ φιλήματι καὶ τῇ φωνῇ τὴν ψυχήν· ἡ δὲ Χλόη λαβοῦσα τὴν σύριγγα καὶ ἐνθεῖσα τοῖς χείλεσιν, ἐσύριζε μέγιστον ὡς ἠδύνατο·	Dorcon ayant ainsi parlé et lui ayant donné un dernier baiser, avec ce baiser et ces paroles il rendit l'âme ; alors Chloé, ayant saisi la syrinx et l'ayant portée à ses lèvres, joua[it] le plus fort qu'elle pouvait.
10 15	καὶ αἱ βόες ἀκούουσι καὶ τὸ μέλος γνωρίζουσι καὶ ὁρμῇ μιᾷ μυκησάμεναι πηδῶσιν εἰς τὴν θάλασσαν. Βιαίου δὲ πηδήματος εἰς ἕνα τοῖχον τῆς νεὼς γενομένου, καὶ ἐκ τῆς ἐμπτώσεως τῶν βοῶν κοίλης τῆς θαλάσσης διαστάσης, τρέπεται μὲν ἡ ναῦς καὶ τοῦ κλύδωνος συνιόντος ἀπόλλυται, οἱ δὲ ἐκπίπτουσιν οὐχ ὁμοίαν ἔχοντες ἐλπίδα σωτηρίας. Οἱ μὲν γὰρ λῃσταὶ τὰς μαχαίρας παρήρτηντο καὶ τὰ ἡμιθωράκια τὰ λεπιδωτὰ ἐνεδέδυντο καὶ κνημῖδας εἰς μέσην κνήμην ὑπεδέδεντο· ὁ δὲ Δάφνις ἀνυπόδητος, ὡς ἐν πεδίῳ νέμων, καὶ ἡμίγυμνος, ὡς ἔτι τῆς ὥρας οὔσης καύματος. Ἐκείνους μὲν οὖν ἐπ΄ ὀλίγον νηξαμένους τὰ ὅπλα κατήνεγκεν εἰς βυθόν· ὁ δὲ Δάφνις τὴν μὲν ἐσθῆτα ῥᾳδίως ἀπεδύσατο, περὶ δὲ τὴν νῆξιν ἔκαμνεν, οἷα πρότερον νηχόμενος ἐν ποταμοῖς μόνοις·	
20	ὕστερον δὲ παρὰ τῆς ἀνάγκης τὸ πρακτέον διδαχθεὶς, εἰς μέσας ὥρμησε τὰς βοῦς, καὶ βοῶν δύο κεράτων ταῖς δύο χερσὶ λαβόμενος, ἐκομίζετο μέσος, ἀλύπως καὶ ἀπόνως, ὥσπερ ἐλαύνων ἅμαξαν.	Ensuite, instruit par la nécessité de ce qu'il devait faire, il se plaça rapidement au milieu des vaches et ayant saisi de ses deux mains les cornes de deux vaches, il se laissait porter au milieu, tranquillement et sans fatigue, comme s'il poussait une charrette.
25	Νήχεται δὲ ἄρα βοῦς ὅσον οὐδὲ ἄνθρωπος· μόνων λείπεται τῶν ἐνύδρων ὀρνίθων καὶ αὖ τῶν ἰχθύων· οὐδ΄ ἂν ἀπόλοιτο βοῦς νηχόμενος, εἰ μὴ τῶν χηλῶν οἱ ὄνυχες περιπέσοιεν διάβροχοι γενόμενοι. Μαρτυροῦσι τῷ λόγῳ μέχρι νῦν πολλοὶ τόποι τῆς θαλάσσης, βοὸς πόροι λεγόμενοι.	Car un bœuf nage bien mieux qu'un homme ; il ne le cède qu'aux oiseaux aquatiques et aussi aux poissons ; et un boeuf ne pourrait se noyer en nageant, sauf si les cornes de ses sabots tombaient à force de rester dans l'eau. Témoignent de ce que je dis, encore aujourd'hui, de nombreux lieux de la mer appelés « bosphores » (passages du boeuf).